# FRAGMENTA ALIVNDE NOTA

## 1 (93 Kock)

Stobaevs, *Ecl.* iv. 32 b. 24. *Μενάνδρου Γεωργῶι·*

*εὐκαταφρόνητόν ἐστι, Γοργία, πένης,*
*κἂν πάνυ λέγηι δίκαια· τούτου γὰρ λέγειν*
*ἕνεκα μόνου νομίζεθ' οὗτος, τοῦ λαβεῖν,*
*καὶ συκοφάντης εὐθὺς ὁ τὸ τριβώνιον*
*ἔχων καλεῖται, κἂν ἀδικούμενος τύχηι.*

## 2 (94 K, 1 Koerte)

Stobaevs, *Ecl.* iv. 41. 28. *Μενάνδρου Γεωργῶι·*

*ὁ δ' ἠδικηκώς, ὅστις ἔσθ' οὗτός ποτε,*
*τὴν ὑμετέραν πενίαν κακοδαίμων ἔσθ', ὅτι*
*τοῦτ' ἠδίκηκεν οὗ τυχὸν μεταλήψεται·*
*εἰ καὶ σφόδρ' εὐπορεῖ γάρ, ἀβεβαίως τρυφᾶι·*
*τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ.*

## 3 (95 K, 2 Koerte)

Orion, *Anthologia* 7. 9. *τοῦ αὐτοῦ;* lemma *ἐκ τοῦ Γεωργοῦ* ad 7. 8 falso adscriptum est.
Stobaevs *Ecl.* iii. 1. 62. *Μενάνδρου Γεωργῶι.* vv. 1–2 solum.
Idem *Ecl.* iii. 20. 22. *τοῦ αὐτοῦ* (*sc. Μενάνδρου*). vv. 3–4.

*οὗτος κράτιστός ἐστ' ἀνήρ, ὦ Γοργία,*
*ὅστις ἀδικεῖσθαι πλεῖστ' ἐπίστατ' ἐγκρατῶς·*
*τὸ δ' ὀξύθυμον τοῦτο καὶ λίαν πικρὸν*
*δεῖγμ' ἐστὶν εὐθὺς πᾶσι μικροψυχίας.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/42 UNIVERSITÄT LEIPZIG